Athen. xv 694 c seqq.

τῶν οὖν δειπνοσοφιστῶν ὁ μέν τις ἔλεγε τῶν σκολίων τόδε, ὁ δε τις τόδε. πάντα δ' ἦν τὰ λεχθέντα ταῦτα·

438 (2 B., 1 D.)

[884] Παλλὰς Τριτογένει' ἄνασσ' Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων ⟦τε⟧ καὶ στάσεων
καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ.

439 (3 B., 2 D.)

[885] Πλούτου μητέρ' Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις
σέ τε παῖ Διὸς Φερσεφόνη·
χαίρετον, εὖ δὲ τάνδ' ἀμφέπετον πόλιν.

440 (4 B., 3 D.)

[886] ἐν Δήλωι ποτ' ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν ἄνακτ' Ἀπόλλω
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.